δοίημεν. Οἱ μὲν οὖν πολλοὶ πεπλανημένας ἔχοντες δόξας, ἕτερα νομίζουσιν εἶναι τὰ λυμαινόμενα ἡμῶν τῇ ἀρετῇ, οἱ μὲν πενίαν, οἱ δὲ νόσον σώματος, οἱ δὲ τὴν ἐν χρήμασι ζημίαν. ἕτεροι συκοφαντίαν, ἄλλοι θάνατον, καὶ ταῦτα ἀποδυρόμενοι καὶ θρηνοῦντες διατελοῦσι. καὶ τοὺς πάσχοντας ἐλεοῦντες καὶ δακρύοντες καὶ ἐκπληττόμενοι πρὸς ἀλλήλους λέγουσιν, οἷα πέπονθεν ὁ δεῖνα; ἀθρόον ἀφῃρέθη τὴν οὐσίαν ἅπασαν. ἕτερος περὶ ἑτέρου πάλιν, ὁ δεῖνα δὲ ἀῤῥωστίᾳ χαλεπῇ περιπεσὼν ἀπέγνωσται παρὰ τῶν πρὸς αὐτὸν εἰσιόντων ἰατρῶν. καὶ ὁ μὲν τοὺς τὸ δεσμωτήριον οἰκοῦντας, ὁ δὲ τοὺς τῆς πατρίδος ἐκπεσόντας, καὶ πρὸς τὴν ὑπερορίαν μεταναστάντας, ἄλλος τοὺς ἐλευθερίας ἐκπεπτωκότας, ἕτερος τοὺς

*mus. Vulgus ergo prauis imbutum opinionib. diuersa existimat nostrae virtuti nocere, alij paupertatem, alij corporis morbum, alij pecuniae iacturam, alij calumniam, alij mortem, atque haec perpetuò lamentantur ac deplorant: & eos, quibus illa contigerunt, miserantes, & flentes, & obstupefacti dicunt inter se: Qualia perpessus est ille? repente omnibus fortunis euersus est. Alius de alio vicissim | At ille in grauem morbum incidit, & à medicis, qui ad eum accedebant, desperatus est. Iam alius carceris incolas, alius patria pulsos, & in exilium relegatos; hic libertate exutos, ille ab hostibus in captiui-*